ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Πρὸς ταῦτα.

Πλάτωνά φασιν τὸν Ἀρίστωνος εἰπεῖν, τότε τοὺς ἀνθρώπους εὐδαιμονήσειν, ἐπειδὰν φιλόσοφοι βασιλεύσωσιν· ἐμοὶ δὲ πᾶν τοὐναντίον δοκεῖ, εἴγε κατὰ σὲ φιλοσοφοῖεν οἱ ἄρχοντες, τὸν βίον τηνικαῦτα κακοδαίμονα ἔσεσθαι· οὐ γὰρ θέλετε, ὦ θαυμάσιε, ὑμεῖς οἱ φιλόσοφοι τῇ τῶν πραγμάτων συνέπεσθαι φύσει, ἀλλ' ἐκεῖνα ταῖς παραδοξολογίαις πρὸς τὴν οἰκείαν ἀναμοχλεύειν προαίρεσιν βούλεσθε· καὶ ταῦτα νῦν παρ' ἡμῖν, τῶν πραγμάτων κατὰ πᾶσαν τὴν Δακίαν ὅλως εἰκῇ φερομένων, μήτε νόμου κρατοῦντος, μήτε λόγου παιδεύοντος· ἀλλὰ τοῦ προστυχόντος ἰσχύοντος, καὶ τῶν ἠθῶν διὰ πάσης ἡλικίας διαφθαρέντων. Ἔγωγε δ' οὖν ἐβουλόμην ὑμᾶς, καθάπερ τοῦ λόγου, οὕτω καὶ τῶν ἔργων τὴν δύναμιν προσκεκτῆσθαι, ἵνα καὶ τὸν ἄνθρωπον εἴ γε θ' ἑτεροῖον, ἢ πέφυκεν ἐξ ἀρχῆς, ἀναπλάσαι· νῦν δὲ οὕτως ἔχοντα φύσεως, λόγος εὐήθους, ἐν ἀγνοίᾳ πραγμάτων ἀνοήτως δάκνοντος, ὥσπερ ὄφις, οὐκ ἄν, οὐδ' ἂν πᾶσαν δικαιοσύνην ὑποκρίνηται, μεταβάλοι. Ἠβουλόμην δ' οὖν, ἣν νῦν ἄρχω ἀρχήν, σὲ αὐτὴν μετ' ἐμὲ μεταχειρίσαι ταύτης τοὺς οἴακας, ἵν' εἰδῇς, ὅπως δέοι πρός τε τοὺς κρείττους παῤῥησιάζεσθαι, καὶ πρὸς τοὺς ἥττους φρονεῖν μετριώτερα· οὕτω γὰρ, ἀποβαλὼν τὴν τῶν λόγων τερθρείαν, μετέμαθες ἂν τὴν τῶν πραγμάτων ἀλήθειαν. Ἔῤῥωσο.

---

Φιλίας μηδὲν τιμιώτερον εἶναι κτῆμα παρὰ πολλοῖς ὡμολόγηται· ᾧ δὲ καὶ πλείους εἰσὶν, οὗτός ἐστιν εὐτυχέστερος· τά τε γὰρ ἡδέα πλείω αὐτῷ προσγενήσεται, καὶ τῶν ἀνιαρῶν, εἴ ποθέντι ἐπέλθοι, ῥᾷον ἀπαλλαγήσεται· τὸ δὲ καὶ τοὺς ὑπάρχοντας ἀπωθεῖσθαι, ὅπερ αὐτὸς δοκεῖς πεπονθέναι, τίνα

Ε.Υ. Ζάχης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

μωρίας ὑπερβολὴν ἀπολέλοιπεν· ἵνα γὰρ χαρίσῃ τοῖς τὰ ἡμέτερα ψέγουσι, τοσαῦτα καθ' ἡμῶν πεφλυάρηκας, ὅσ', οὐδ' ἂν ἐχθροῦ ἀνὴρ νοῦν ἔχων κατείποι, μὴ εἰδὼς, ὡς οὐκ ἐκ τοῦ κακῶς τινας ἀγορεύειν, καὶ ταῦτά γε φίλους, βεβαίας τὰς χάριτας κατατίθενται ἄνθρωποι· ἀλλ' ἐκ τοῦ τἀληθῆ περὶ πάντων παῤῥησιάζεσθαι τὴν ἀρετὴν ἑαυτοῖς βεβαιοῦσιν· ἀλλ' εἰ μὲν παρὰ τῶν τυχόντων ἡμῖν ἀπήγγελτο ταῦτα, διαβολῆς ἂν παρέσχεν ὑπόνοιαν· νῦν δὲ πολλῶν καὶ λόγου ἀξίων ταὐτὰ βεβαιούντων, πῶς ἄν τις τοῖς θρυλλουμένοις διαπιστοίη; πῶς δὲ καὶ τοῦ λοιποῦ πρὸς τοὺς αὐτοὺς τιμῴη, ὧν ἀμφίβολος ἡ διάθεσις; τὸ μὲν γὰρ ἀγαπᾷν τοὺς μισοῦντας ἀρετῆς ἐστι, καὶ παράγγελμα· τὸ δὲ τοὺς φιλοῦντας φιλεῖν, ἀνθρώπινος νόμος· εἰ δέ τις καὶ τούτους δάκνειν πειρῷτο, τοῦτ' εἰ δεῖ τῷ εἰπόντι πιστεύειν, οὐδὲ θηρίων. Ἔῤῥωσο.

## Πρὸς ταῦτα.

Πανοῦργόν τι χρῆμα καὶ ἀνυστικώτατον ἔοικεν ἡ διαβολὴ, τὴν μὲν λεωφόρον ἀεὶ παρεκκλίνουσα, διὰ δὲ μυρίων ἀτραπῶν εἰς τὰς τῶν ἀνθρώπων ψυχὰς παρεισδύουσα· λανθάνειν γὰρ, ὃ μέλλει δρᾷν, πειρωμένη, οὐκ ἔσθ', ὃ μὴ κακούργως πρὸς τοῦτο ἐπινοεῖ· οἷον καὶ παρά σοι τῷ στεῤῥοτάτῃ φιλίᾳ πρὸς ἐμὲ συνδεδέσθαι μαρτυρουμένῳ, νυνὶ κατεπράξατο· ἔτυχον γὰρ συνεστιώμενος παρά τινι τῶν εὐδαιμονεστέρων, ὅπου λόγων περὶ σοῦ πολλῶν γενομένων, καὶ πάντων καταφερόντων τὰ σὰ εἰς μέμψιν, καὶ μᾶλλον ὅσων με σιγῇ ἑώρων δειπνοῦντα, οὐκέτι μοι ἀνασχετὸν ἦν τοιαῦτα ἀκούειν· ὁρῶν δ' ὅμως τὸν ἐκ παῤῥησίας λόγον ἐσόμενον ἐπικίνδυνον, ἁπάντων θεραπευόντων τὰ τοῦ δεσπότου, δι' ἑτέρας ἔγνων εἰσδῦναι, καὶ τὴν ψυχὴν αὐτοῦ κατασχεῖν· συναινεῖν γὰρ τοῖς λεγομένοις δόξας τὸ κατ' ἀρχὰς, ἐν οἷς μάλιστα ἡ μέμψις σου

Ε.Υ.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ἥκιστα ἥπτετο, ὀφεῖλον τούτῳ τῆς πρὸς σέμου φιλίας ἐκείνων τὸ ὕποπτον· ὡς δὲ καὶ μετὰ λόγου ἐν μέρει προήχθημεν ἐξετάζειν τὰ πράγματα, καὶ σπουδαιότερον περὶ σοῦ τἀληθὲς ἐζητοῦμεν, οὐκέθ' οἷοί τε ὄντες ἀντιστῆναι, ἰχθύες κατέστησαν ἄφωνοι· καὶ τῇ σιωπῇ ἐδόκουν ἐθέλειν καὶ ἄκοντες ἀναιρεῖν, ἃ ἑκόντες πρὸ μικροῦ κατεψεύσαντό σου. Τούτων οὖν οὕτω γενομένων, καὶ τῆς νίκης φανερᾶς ἤδη οὔσης (ἰσχυρὰ γὰρ ἡ ἀλήθεια) ἑτέραν ἐτράποντο, καὶ διαβαλεῖν με πρὸς σὲ ἐπειράθησαν (τὸ γὰρ ἀδύνατον, τοῦτ' αὐτὸ ἀσθενὲς ὂν ἐκ τοῦ προφανοῦς κατορθοῦν, πονηρίαν μετέρχεται) τὰ μὲν προοίμια τοῦ πράγματος, ὡς ἔοικε, καὶ ταῦτα μεθ' ὑπερβολῆς διελθόντες, τὰ δὲ τοῦ ἐπιλόγου σιωπῇ συγκαλύψαντες. Ἀλλ' οὗτοι μὲν, τὴν ἡμετέραν διορύξαι φιλίαν βουλόμενοι συγγνωστέοι ἂν εἶεν, τὰ ἑαυτοῖς συμφέροντα πράττοντες· σοῦ δὲ πῶς ἂν κατ' ἀξίαν μεμψαίμην τὸ εὔηθες, οὕτω ῥᾳδίως τοῖς τοιούτοις πιστεύοντος; πῶς δὲ καὶ αὖθις, καιροῦ τυχόντος, τοῖς τὰ σὰ μὴ δεχομένοις ἀνυπόπτως ἀντίποιμι; οὐ γὰρ τὰ τῶν ἐχθρῶν φοβερὰ, σαθρὰ πάντη ὄντα, ἀλλὰ τὸ τῆς σῆς διανοίας ἁπλοῦν καὶ εὐπτόητον ἐκεῖνα μᾶλλον κρατύνει. Τοῦτ' οὖν μεταμαθεῖν σε χρὴ, ἐμοὶ, εἰ τοῦτ' εἰπεῖν χρὴ, χαριζόμενον· καὶ ἡνίκα τοιαῦτα καὶ αὖθις ἀκούσειας, ἀνέχου, πανταχόθεν τὸ τῆς διαβολῆς ἀποφεύγων· καὶ πάνθ' ἡμῖν ὑπὲρ σοῦ, ὅ,τι καὶ ὅπως ἂν λέγωμεν, διαπράττεσθαι ὑπολάμβανε, εἰδὼς ὡς καὶ τοῖς ἰατροῖς οὐκ ἀνώδυνα τὰ φάρμακα τοῖς νοσοῦσι προσφέρεται. Ἔῤῥωσο.

---

Χρηστοῦ παρ' ἀνδρὸς, φησὶ Μένανδρος, μηδὲν ὑπονόει κακόν· σὲ δὲ οὐχ ἅπαξ, ἀλλὰ δίς με ἤδη φανερῶς ἀδικήσαντα, ὡς μήτε τὰ βιβλία ἀποδιδόντα, μήτε μὴν τὸ ἀργύ-

Ε.Υ.τ.τ.ς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΙΣΤΟΡΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ριον, ὅσου γ' ἐπριάμην ἐκεῖνα καταβαλόντα, ποτέρᾳ τάξει τακτέον, τῇ τῶν χρηστῶν, ἢ τῇ ὡς ἑτέρως ἐχούσῃ; καὶ πότερον, σιωπῇ φέρειν ἄμεινον, ἢ ἀγανακτεῖν δικαιότερον, ἵνα ὅτι καὶ πρὸς λόγον ἀντιστῆναι τοῖς πονηροῖς, καὶ ἔργῳ βλάπτειν, εἴτι δέοι, δυνάμεθα, δείξωμεν; τῷ μὲν γὰρ ἀκουσίως τοῦ πράγματος ἁμαρτόντι καὶ συγγνώμη τις ἴσως παρὰ τῶν μετριώτερον, ἢ προσῆκε, φρονούντων, γένοιτ' ἄν· τῷ δὲ ἐξεπίτηδες τὰ χείρω προελομένῳ, οὐκ ἂν εἴη διὰ τέλους παραίτησις τοῦ μὴ οὐχὶ διπλῆν, ὧν ἠδίκηκε, δοῦναι δίκην. Ἔῤῥωσο.

## *Πρὸς ταῦτα.*

Ἀνδρὸς δυσκόλου οὐδὲν, οἶμαι ἔγωγε, χαλεπώτερον· θᾶττον γὰρ ἄν τις Φάλαριν ἔπεισε μετριώτερον τοῖς τυραννουμένοις προσφέρεσθαι, ἢ σὲ γνωρίμοις, ἐν στενῷ κατεχομένοις καιρῷ, ἀναβολὴν μικρὰν ποιεῖσθαι τῆς ἀπαιτήσεως. Ἐγὼ δ' οὖν, καὶ τούτων οὕτως ἐχόντων, τά τε πρῶτα εἰς εὐργεσίαν μοι γεγενῆσθαι εὐγνωμόνως ὁμολογῶ· καὶ τὰ δεύτερα νῦν ἐφ' οἷς πολλὴν μετὰ λοιδορίας ἐπάγεις ἀνάγκην, οὐκ ἔλαττον καὶ ἀπὸ ταύτης ὠνάμην· δείξας γὰρ τὴν λοίδορόν σου ἐπιστολὴν Θεοκρίτῳ, θᾶττον μὲν, ἢ ἤλπιζον· πλείω δὲ, ἢ ἔδει, τὴν χάριν εὑράμην· ἅμα γὰρ ἀναγνοὺς τὰ γράμματα, συνῆκέ σου τοῦ τρόπου τὸ βίαιον, καὶ καταλαβών μοι προῖκα τὸ ὄφλημα, ἐκέλευσεν ἀποδοῦναί σοι τὴν ταχίστην, ὑπειπὼν, ἵνα μηκέ τι τῆς σῆς ὀξυρεγμίας αἰσθάνωμαι. Ἀπόλαβε τοίνυν τὸ ὀφειλόμενον εὐγνωμόνως μὲν παρ' ἐμοῦ προσφερόμενον· ὠμότερον δὲ, ἢ κατ' ἄνθρωπον αὐτὸς ἀπαιτήσας· καὶ κατορύξας διατέλει φυλάττων, ταλαίπωρε, μέχρις ἂν μάθῃς πείρᾳ, οἵαν ἀνθ' οἵων φίλων καταδίκην σοι οἱ ἀλάστορες ταμιεύωσιν. Ἔῤῥωσο.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Εἰς μάτην ἄρ᾽ ἡμῖν ἦν ἡ καύχησις περὶ σοῦ, καὶ αἱ ἐλπίδες ἀπέβησαν ἄντικρυς ἄνθρακες· ἅμα γὰρ πέρυσιν ἀκηκόαμεν κοινῇ ψήφῳ ἀξιωθέντα σε τὴν διδασκαλικὴν κατέχειν καθέδραν, καὶ ἡμεῖς, οἷς μάλιστα παῖδες εἰσὶν ἐν ἡλικίᾳ τὴν Ἑλληνικὴν παιδευθῆναι παιδείαν, ἄλλος ἄλλῳ ὡς εὐτύχημα τοῦτο προαναγγέλλοντες, οὐκ εἴχομεν, ὅπως χρησώμεθα τῇ χαρᾷ, ἄσπαρτα καὶ ἀνήροτα οἱ τάλανες τοῦ γε λοιποῦ ἡμῖν πάντα φύεσθαι προσδοκῶντες· ἀλλ᾽ ἤδη καὶ ἔργῳ, ὃ λόγῳ παρὰ τοῖς πολλοῖς ἀκούομεν, παιδευόμεθα· ἔνθα γάρ, φασὶν ἐκεῖνοι, πολλοὶ ἀπαγγέλονται κέρασοι, πρὸς ταῦτ᾽ ἰόντες, μικροὺς κομιστέον καλάθους· καὶ ταῦτα μὲν παθεῖν τοὺς πολλοὺς παράδοξον ἴσως οὐδὲν, ἐξ ἀγνοίας τὰ πράγματα τοιαῦτα, οἷα καὶ λέγεται, οἰομένους· περὶ σοῦ δὲ καὶ φίλους ὄντας καὶ εἰδότας, ἐξαπατηθῆναι, πῶς οὐχ ὑπέρδεινον; δεύτερον γὰρ ἔτος τουτί, ὦ θαυμάσιε, οὐδεμίαν τοῖς παισὶν ἐμαυτοῦ ἐπίδοσιν ἐνορῶ γενομένην, καὶ ἀρηδήλως, ὃ λέγεται, ἐν τῷ λιμένι νεναυαγήκαμεν. Δυοῖν τοίνυν θάτερον (εἰ δεῖ με καὶ τοῦτο προσθεῖναι τῷ λόγῳ) ἀνάγκη ποιεῖν, ἢ τὰς ἐπίσοι τῶν πολιτῶν ἐλπίδας θᾶττον πειρᾶσθαι πληρῶσαι, πᾶσαν ῥαθυμίαν καὶ βλακείαν ἀποσεισάμενον, ἢ παύσασθαι τῷ ἐπαγγέλματι καταχρώμενον· ὃς γὰρ καταφρονεῖ τοῦ πράγματος φασὶν ὁ παροιμιαστής, ταχέως καταφρονηθήσεται ὑπ᾽ αὐτοῦ. Ἔῤῥωσο.

## *Πρὸς ταῦτα.*

Ἀνὴρ ἄφρων ἀνορύσσει ἑαυτῷ κακά· ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων θησαυρίζει πῦρ· οὕτως ἐκεῖθέν μοι εἴληπται τὸ Προοίμιον, ὅθεν αὐτὸς τυγχάνεις ἀρυσάμενος τὸν Ἐπίλογον· ἵν᾽ εἰδῇς εἰδότας καὶ ἡμᾶς ἀπὸ τῶν ἱερῶν ἀντεμβάλλειν λόγων πρὸς τοὺς ἀνοήτως ἐκεῖθεν ἐφ᾽ ἡμᾶς ὁρμωμένους· πολλὰ μὲν

Ε.Υ. ... Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

γὰρ ὑπὸ πολλῶν, τῶν μὲν διὰ φθόνον, τῶν δὲ καὶ ἀμαθίᾳ πραγμάτων κακῶς ἀκούειν ἡμᾶς ἀνασχετὸν ἂν εἴη, καὶ σύνηθές ἐστι τοῦτο, ὡς ἐν πονηρᾷ τοῦ χρόνου φορᾷ, εὖ ποιοῦντας τοὺς διδασκάλους τοιαῦτα πάσχειν· τὸ δὲ καὶ παρὰ φίλων, καὶ τούτων εἰς ἄκρον ἐληλακότων παιδείας, καὶ τῆς ἱερᾶς ἐπιστήμης τοῦ Ἀσκληπιοῦ ἐγκρατῶν γενομένων, πρὸς τῷ μηδεμίαν μνήμην, μήθ' ὧν πρώην εἰς κοινὴν βελτίωσιν διὰ πολλῶν ἐτῶν πεπονήκαμεν, μήθ' ὧν νυνὶ ἀγῶνα ποιούμεθα μέγιστον, ποιήσασθαι βούλεσθαι, καὶ ταῦτα ἀκούειν, τίν' ὑπερβολὴν ἀπολέλοιπεν ἀδικίας; ῥαθυμίαν γὰρ καὶ βλακείαν ἡμῶν καταγνοὺς, κηφῆνας ὅλως, ὡς δῆθεν εἰκῇ τὴν ἕδραν κατέχοντας, προσαγορεῦσαι τετόλμηκας, ταῖς τῶν φθονούντων ἴσως συκοφαντίαις πεισθεὶς, μὴ εἰδὼς, ὡς ἔοικε, μηδὲν ὑγιὲς ἐκ τῆς τῶν ὄχλων κρίσεως προερχόμενον· καί τοι εἴτι τοῖς τοιούτοις πείθεσθαι δεῖ, μεμπτότεροι τῶν διδασκάλων ἂν εἶεν οἱ ἰατροί· πλείους γὰρ ὁρῶμεν τοὺς ἐφ' ὑμῖν προσανακλαομένους, ὡς μηδὲν τῶν ὑμῖν προσηκόντων ποιοῦσιν, ἀλλὰ καθ' ἑκάστην, ὥσπερ ἂν εἰ συνθήκας ἐποιεῖσθε πρὸς Χάρωνα τοὺς θεραπευομένους ἐκεῖ παραπέμπουσι, καὶ διὰ τοῦτ' ἀγύρτας ὑμᾶς, καὶ ἄλλα μυρία προσαγορεύοντας, καὶ τὸ δὴ χείριστον τὸ παλαίφατον ἐπιλέγοντας, ὡς τὰς μὲν ἐπιτυχίας τῶν ἰατρῶν ἥλιος ὁρᾷ, τὰς δὲ ἀποτυχίας γῆ κεύθει· καὶ οὐδ' ἄνευ λόγου γε τὰ πολλά· ἐξεταστέον δὲ εἰ βούλει τἀληθὲς οὑτωσί· πρὸ μὲν γὰρ πεντήκοντ' ἐτῶν ἐν διδασκάλων καὶ ἰατρῶν ἀπορίᾳ εἶχον οἱ ἄνθρωποι τὰ μὲν σώματα, ὑγιῶς· τὰς δὲ ψυχὰς, ἀμαθῶς· νῦν δὲ ἐν ἀφθονίᾳ ἑκατέρων πῶς ἔχει αὐτοῖς; τὰ μὲν νοσήματα πλείω, ἡ δὲ ἀμαθία ἐλάττων· ὅ ἐστιν αἵ τε νόσοι αἵ τε μαθήσεις ἐπιδιδοῦσαι, χωροῦσι πρὸς τὸ ἄκρον ἑκάτερα, ἀπὸ τοῦ ἐναντίου ὁρμώμενα, τὰ μὲν πρὸς τὸ χεῖρον, τὰ δὲ πρὸς τὸ κρεῖττον. Τί οὖν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ.ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Λάτης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

δὴ τὸ αἴτιον τούτων; οὐδεὶ σε ὑπ' ἐμοῦ διδαχθῆναι· δεῖ δέ σε μᾶλλον τιμᾷν τοὺς τὴν ἀνθρώπινον φύσιν ὠφελεῖν ἑλομένους, καὶ τὴν κοινὴν ὠφέλειαν καὶ ἑαυτῶν περὶ πλείονος ποιουμένους, μήτε πόνων, μήτε ἰδίων πρὸς τοῦτο φειδομένους χρημάτων· εἰ δέ σοι οἱ παῖδες μὴ κατὰ πᾶσαν τὴν τοῦ πατρὸς ἐπιθυμίαν ἐπιδιδόασι, κέλευσον αὐτὸν τοῦτ' αὐτὸ πατέρα γενέσθαι περὶ αὐτοὺς, κοὐκ ἀπερίοπτον κόλακα, εἰ βούλοιτο διὰ παντὸς αὐτοὺς ἀγαπᾷν· τὸ γὰρ λίαν φιλεῖν, ὥς φησιν ὁ τοῦ ἤθους φιλόσοφος καὶ διδάσκαλος, πολλοῖς τοῦ μὴ φιλεῖν αἴτιον κατέστη. Ἔῤῥωσο.

---

Ἐφόδιον ἔφη τις τῶν σοφῶν δεῖν εἰς τὸ γῆρας ἀεὶ κατατίθεσθαι· σὺ δὲ, ὥσπερ εἰς οὐδὲν ταῦτα θέμενος, οὐδ' ὧν ὁ σοφὸς Σολομὼν ἐκπαιδεύει, μνήσθητι, λέγων, τῶν ἐσχάτων σου, καὶ οὐχ ἁμαρτήσεις, σεαυτοῦ ἐπαΐων ἀξίως, τῆς ἀπὸ τούτων ὠφελείας ἠμέλησας· οὕτω γὰρ σεαυτὸν τῇ ῥαθυμίᾳ εἰκῇ προΐεσθαι λέγουσιν, ὑπὲρ καπνοῦ τιθέμενον τὸ πηδάλιον, ὥσθ' ἁπάντων· περὶ ὃ ἂν δύνηται ἕκαστος πρὸς τὰ τοῦ βίου πορίζεσθαι ἐνασχολομένων, σὲ μόνον μηδεμίαν πρόνοιαν ποιεῖσθαι τοῦ μέλλοντος, ὥσπερ εἰ ἀνήροτα καὶ ἄσπαρτά σοι ἤμελλε φύεσθαι· Σκόπει οὖν, μὴ τὰ παρόντα ἐν οὐδένοντι ἀναλώσας, παρὰ τὸ γῆρας εἰς ἔνδειαν δεινὴν περιστῇς, ὅτ' ἐκτενεῖς τὰς χεῖρας, καὶ ἄλλως σε ζώσει, καὶ οἴσει, ὅπου οὐ θέλεις. Ἔῤῥωσο.

## Πρὸς ταῦτα.

Ἐφόδιον εἰς τὸ γῆρας, εἰ τὸ τοῦ Βίαντος ἐννοεῖς, αὐτήν μοι ἐννόει μᾶλλον τὴν ἀρετήν· ταύτην γὰρ τὴν χάριν ἐκεῖνος παρὰ τοῦ παιδὸς ἀποίμαντος ἤδη πρὸς Αἴγυπτον δοκεῖ

Ε.Υ. ΔΕΡΣ Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2008

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ἀπαιτῆσαι· ἀλλ' οὐδὲ τὸ Σολομώντειον ὀρθῶς ἐξηγῇ· κἀκεῖνος γὰρ τὸν θάνατον ἔσχατα ἔοικεν ἐννοεῖν· ὅμοι πάντων μάλιστα μεμελέτηται, καὶ δι' ὃ μικρὸν φροντίζω τῶν τῇδε· ἐφ' ᾧ αὐτός μοι νῦν προήχθης ἐπιτιμῆσαι· νήπιος! ὃς οὐδ' οἷς ἐπιχειρεῖς ἑτέρους διδάσκειν, ἐβουλήθης εἰδέναι· καὶ τὴν ἀπραγμοσύνην ἡμῶν καταμέμφῃ, ἧς ἀφῄρησαι τὴν ὠφέλειαν· καὶ τί ταῦτά φημι; ἀλλ' οὐδὲ τῶν ἱερῶν λογίων, ὡς ἔοικεν, ἐπῆλθέ σοι, πώποτε ἐπαΐειν, ἐν οἷς οὐδ' αὐτὰ τὰ πτηνὰ τῆς ἑαυτοῦ προνοίας ὁ πλάστης ἀπέκλεισεν, ἧπου γ' ἡμᾶς, δι' οὓς καθ' ἡμᾶς γενέσθαι ηὐδόκησεν· εἰ δὲ ταῦτα μακρότερον μὲν, ἢ κατὰ τὴν παροῦσαν ὁρμήν ἐστι λέγειν· τελειοτέρου δὲ, ἢ κατά σε ἀκροατοῦ ἐπαΐειν, ἐξίωμεν εἰς τοὺς θύραθεν· καὶ σκόπει κἀνταῦθα ἐπιστήσας ἀκριβῶς τὴν διάνοιαν, οὐ τῷ κακοδαιμονεστάτῳ βασιλεῖ τῶν Λυδῶν, οὐδὲ τῷ τῶν Περσῶν, ὑφ' οὗ ἐκεῖνος ζωγρηθεὶς, τὴν ἐπὶ τὴν πυρὰν ἀπήγετο οἴκτιστα· ἀλλὰ πένησι μάλιστ' ἀνθρώποις, Σόλωνι τῷ Ἀθηναίῳ, καὶ Διογένει τῷ Σινωπεῖ· ὧν ὁ μὲν Κροῖσον, προπηλακίσας αὐτῷ τὴν τύχην, εἰς τὸ σωφρονέστερον ἐπειράθη μεταγαγεῖν, ὁ δὲ καὶ αὐτοῦ τοῦ μεγάλου βασιλέως εὐδαιμονέστερον ἀπέφαινεν ἑαυτὸν, καὶ Ἀλέξανδρον τὸν Μακεδόνα ἐξεμυκτήρισε, τὸ ἀπέριττον καὶ ἥσυχον τοῦ βίου ἔμπροσθεν τῆς ἐκείνων δοκούσης εὐδαιμονίας τιθέμενος· Ἔα τοίνυν ἡμᾶς ἀντὶ τῶν δοκούντων καὶ ῥεόντων, τῶν μενόντων καὶ βεβαίων, ὡς ἔδοξεν, ἔχεσθαι. Ἔῤῥωσο

---

Ὅπερ μοι συνέβη χθὲς πρῶτον μὲν ἀκοῦσαι· ἔπειτα καὶ αὐτὸν ἀναγνῶναι ἐν τῷ Λογίῳ Ἑρμῇ, τοῦτ' οὐκ ὀκνήσω καὶ πρός σε διηγήσασθαι, ὦ Θεόφραστε, καὶ τῆς ἐκ τῶν λεγομένων εὐθυμίας κοινωνὸν ποιῆσαι ὡς φιλογενῆ καί σε ὄντα τε καὶ ἐσόμενον· Ἄγγλος τις τῶν εὐδαιμόνων καὶ εὐπατ-

Ε.Ρ.Α. τ.Φ.Κ. τ.Π. ΙΩΑΝΝΙΝΑ 2008

ριδῶν, φασίν, ἀδείᾳ καὶ ἀξιώσει βασιλικῇ ἐξέδωκε πρόγραμμα εἰς τοὺς Ἕλληνας τοὺς τὴν ἑπτάνησον τοῦ Ἰονίου πελάγους οἰκοῦντας, τῆς τε νῦν καὶ τῆς ἀρχαίας γλώσσης πρὸ πάντων κελεύων ποιήσασθαι ἐπιμέλειαν, τὴν μὲν τῶν ξένων καὶ βαρβάρων ὀνομάτων ἀποκαθαίροντας, τὴν δὲ κατὰ βραχὺ ἐπιμιγνύντας τῇ συνηθείᾳ, μέχρις ἂν ἐξ ἀφαιρέσεως καὶ προσθέσεως εἰς ταὐτὸν ἀμφότεραι γένωνται· τὴν γὰρ αὐτὴν εἶναι τῇ ἀρχαίᾳ τὴν νεωτέραν, πλὴν μικρῶν ἐκβαρβαρωθέντων, δεινὸν δ' εἶναι καὶ ἀνάξιον τῶν νέων Ἑλλήνων, εἰ μὴ τοὺς προγόνους τἄτ' ἄλλα μιμεῖσθαι σπουδάσειαν, καὶ τὴν γλῶσσαν ἐκείνων ἀνασῶσαι φροντίσειαν, καὶ ταῦτα ῥᾳδίου τοῦ πράγματος ὡς ἐν χρόνῳ πολλῷ ἐσομένου, εἰ μόνον δόξει ἐν τοῖς Λυκίοις λέγειν Ἑλληνιστί. Ἐνταῦθα δὲ ὁ καλὸς κἀγαθὸς Ἄγγλος καὶ βραβεῖα προτίθησι τοῖς εὐδοκιμοῦσι τῶν μαθητῶν, τῷ μὲν ἀρίστῳ, νόμισμά τι χρυσοῦν ἀπὸ τριάκοντα χρυσῶν· τῷ δὲ τὰ δεύτερα ἔχοντι, ἀπὸ εἴκοσι· τῷ δὲ τρίτῳ, ἀπὸ δέκα· ἀλλ' ἵν' ἀκριβῶς ταῦτ' εἰδῇς, ἄξιον αὐτὸ τοῦτο τὸ πρόγραμα ἀναγνῶναι. Ἔῤῥωσο.

## *Πρὸς ταῦτα·*

Οὐκ ἂν ἐπίστευσα τοῖς ἐπισταλμένοις, εἰμὶ καὶ αὐτὸς ἀνέγνων τὸ πρόγραμμα· ἐκεῖνο δὲ πρὸς σὲ διάφορον πέπονθα, ὅτι οὐ μᾶλλον τὸν Ἄγγλον θαυμάσας ἐπῄνεσα τῆς φιλανθρωπίας, ἢ τὸν σχολιαστὴν αὐτοῦ ἐμεμψάμην τῆς κακοηθείας· ὁ μὲν γὰρ ὀρθῷ χρησάμενος λόγῳ, ἀπέδειξε δυνατὴν οὖσαν τὴν νῦν διάλεκτον, κατὰ βραχὺ πρὸς τὴν ἀρχαίαν ἀνασωζομένην, μίαν ἄμφω τῷ χρόνῳ γενέσθαι· ὁ δὲ κατ' ἐχθρὸν ἀντιπεριπλέκων, σοφίζεται, ἀντιβαίνων μὲν ἐκείνῳ, πολεμῶν δὲ τὴν τοῦ γένους βελτίωσιν, ἵν' ἔχῃ ἐντεῦθεν, ἣν ἔσχεν ἐξ [illegible] ἐξέδωκε περὶ τῆς ζητήσεως

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ...της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2008